καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά, οἱ δὲ ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδο-
11 νάς; ¶ Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. ¶ Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καί, λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κα-
12 κῶν ἀπέχεσθαι. Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι

ἐχθρῶν] Iunt. et Stob. ἐχθρούς.
ἀφ' ὧν] Cast. ἀφ' οὗ. Sed pluralis praestat, quia aliquot rerum genera sunt modo commemorata.
§. 11. τί γάρ] Iunt. τίνι γάρ. Sed vulgatum, quod est in Ald., Steph., et ap. Stob. vsitatius est. Ceterum γάρ refertur ad ellipsin ναὶ τοῦτο λέγω. Mox abest ἔφη a Stobaeo.
ἀμαθεστάτου] Stob. ἀκρατεστάτου. Sed vulgatum antecedentibus et seqq. melius conuenit. Nam homo intemperans comparatur cum bestia, boni maliue scientia plane destituta. Socrates enim σοφίαν καὶ σωφροσύνην οὐ διώριζεν, III, 9, 4. Cf. II, 1, 5.

διαφέροι] Iunt. διαφέρει, vitiose.
ἔξεστι] Budaeus Commentar. p. 317 laudat ἐστί. haud male.
λόγῳ καὶ ἔργῳ] Ibid. et edd. vett. ἔργῳ καὶ λ.
κατά] Ibid. et ap. Stob. καὶ τά, quod vitium valde est frequens in libris.
§. 12. οὕτως] Cast. τούτους, vitiose.
δυνατωτάτους] Budaeus l. l. δυνατωτέρους, sed ob antecedentes superl. minus apte.
δεῖν] Simsonus testatur, aliis legi δεῖ, sed vulgatum, quod refertur ad ἔφη, antec. et cons. melius respondet.